ὅθεν ἐπέσυτο τάνδε γαῖαν
ἁρπαγαῖσι δαιμόνων τις ἄτα.
ΑΓΓ. ὠή, τίς ἐν πύλαισι δωμάτων κυρεῖ;
ἀνοίγετ᾽, ἐκπορεύετ᾽ Ἰοκάστην δόμων.
ὠὴ μάλ᾽ αὖθις· διὰ μακροῦ μέν, ἀλλ᾽ ὅμως
ἔξελθ᾽, ἄκουσον, Οἰδίπου κλεινὴ δάμαρ,
λήξασ᾽ ὀδυρμῶν πενθίμων τε δακρύων.
ΙΟ. ὦ φίλτατ᾽, ἦ που ξυμφορὰν ἥκεις φέρων
Ἐτεοκλέους θανόντος, οὗ παρ᾽ ἀσπίδα
βέβηκας ἀεὶ πολεμίων εἴργων βέλη;
τέθνηκεν ἢ ζῇ παῖς ἐμός; σήμαινέ μοι.
ΑΓΓ. ζῇ, μὴ τρέσῃς τόδ᾽, ὥς σ᾽ ἀπαλλάξω φόβου.
ΙΟ. τί δ᾽; ἑπτάπυργοι πῶς ἔχουσι περιβολαί;
ΑΓΓ. ἑστᾶσ᾽ ἄθραυστοι, κοὐκ ἀνήρπασται πόλις.
ΙΟ. ἦλθον δὲ πρὸς κίνδυνον Ἀργείου δορός;
ΑΓΓ. ἀκμήν γ᾽ ἐπ᾽ αὐτήν· ἀλλ᾽ ὁ Καδμείων Ἄρης
κρείσσων κατέστη τοῦ Μυκηναίου δορός.
ΙΟ. ἓν εἰπὲ πρὸς θεῶν, εἴ τι Πολυνείκους πέρι
οἶσθ᾽· ὡς μέλει μοι καὶ τόδ᾽, εἰ λεύσσει φάος.
ΑΓΓ. ζῇ σοι ξυνωρὶς εἰς τόδ᾽ ἡμέρας τέκνων.
ΙΟ. εὐδαιμονοίης. πῶς γὰρ Ἀργείων δόρυ
πυλῶν ἀπεστήσασθε πυργηρούμενοι;
λέξον, γέροντα τυφλὸν ὡς κατὰ στέγας
ἐλθοῦσα τέρψω, τῆσδε γῆς σεσῳσμένης.
ΑΓΓ. ἐπεὶ Κρέοντος παῖς ὁ γῆς ὑπερθανὼν
πύργων ἐπ᾽ ἄκρων στὰς μελάνδετον ξίφος
λαιμῶν διῆκε τῇδε γῇ σωτήριον,
λόχους ἔνειμεν ἑπτὰ καὶ λοχαγέτας
πύλας ἐφ᾽ ἑπτά, φύλακας Ἀργείου δορός,
σὸς παῖς, ἐφέδρους θ᾽ ἱππότας μὲν ἱππόταις

---

*τί μοί ποθ᾽ ἥκεις καινὸν ἀγγελῶν ἔπος;*

---

1065. *ἐπέσυτο*] Canterus, *ἐπέσσυτο* libri. *γαῖαν*] Battierius, *γᾶν* libri. 1070. *κλεινή γρ. κυδρή* A *κλεινή* ceteri. 1075. schol.: *ἐν τοῖς πολλοῖς ἀντιγράφοις οὐ φέρεται ὁ στίχος οὗτος. ἀγγέλλων* C 1078. *ἑπτάπυλοι* C 1084. *τοῦδ᾽* BFC 1087. *ἐπεστήσασθε* C 1095. *θ᾽*] addidit Valckenaerius.